*Τὸν καιρὸν εὔχου πάντοθ' ἵλεων ἔχειν.*
*Τὸ πολλὰ τολμᾶν πόλλ' ἁμαρτάνειν ποιεῖ.*
*Τοῦτ' ἐστὶ τὸ ζῆν μὴ σεαυτῷ ζῆν μόνον.*
*Τρισάθλιος γυναικὶ πιστεύων ⟨ἀνήρ.⟩*
*Ὑφ' ἡδονῆς ⟨ὁ⟩ φρόνιμος οὐχ ἁλίσκεται.*
*Ὑπὲρ σεαυτοῦ μὴ φράσῃς ἐγκώμιον.*
*Ὑγίεια καὶ νοῦς ἀγαθὰ τῷ βίῳ πέλει.*
*Ὑπόνοια δεινόν ἐστιν ἀνθρώποις κακόν.*
*Ὑπὲρ εὐσεβείας καὶ λάλει καὶ μάνθανε.*
*Ὕπνος θανάτου γὰρ προμελέτησις τυγχάνει.*
*Ὕπνος δὲ πάσης ἐστὶν ὑγίεια νόσου.*
*Ὕπνος τὰ μικρὰ τοῦ θανάτου μυστήρια.*
*Ὑπὸ τῆς ἀνάγκης πάντα δουλοῦται ταχύ.*
*Ὑπὸ τῆς ἀνάγκης πολλὰ γίγνεται κακά.*
*Ὑπερήφανον πρᾶγμ' ἐστὶν ὡραία γυνή.*
*Υἱῷ μέγιστον ἀγαθόν ⟨ἐστ'⟩ ἔμφρων πατήρ.*
*Ὕπνος πέφυκε σωμάτων σωτηρία.*
*Ὕπνος δὲ πεῖναν τὴν κατ' ἔσχατον δαμᾷ.*
*Ὑπὲρ σεαυτοῦ καὶ φίλου μάχου πάνυ.*